τμῆμα τῆς ΑΒΓ σφαίρας ὡς ἔμπροσθεν ἐδείχθη· ὡς
δὲ ἡ ΒΓ πρὸς μείζονα ἐστὶν ἡ ΛΜΝ τῆς ΔΕΖ· καὶ ἡ ΔΕΖ σφαῖρα
πρὸς ἐλάσσονα τῆς ΑΒΓ σφαίρας τριπλασίονα λό-
γον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ· ὅπερ ἀδύνατον ἐδεί-
χθη· οὐκ ἄρα ἡ ΑΒΓ σφαῖρα πρὸς μείζονα τῆς ΔΕΖ
σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς
τὴν ΕΖ· ἐδείχθη δὲ ὅτι οὐδὲ πρὸς ἐλάσσονα· ἡ
ἄρα ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ σφαῖραν τριπλα-
σίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ· ὅπερ ἔ-
δει δεῖξαι:—

ΕΥΚΛΕΙΔΟΥ ΣΤΕΡΕΩΝ Β ἐστὶ δὲ τῶν στοιχείων τὸ ΙΒ

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ· τὸ
μεῖζον τμῆμα προσλαβὸν τὴν ἡμίσειαν τῆς ὅλης·
πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τῆς
ὅλης· εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ ἄκρον καὶ μέσον λό-
γον τετμήσθω κατὰ τὸ Γ σημεῖον· καὶ ἔστω μεῖζον τμῆ-
μα τὸ ΑΓ· καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας τῇ ΓΑ εὐθεῖα
ἡ ΑΔ· καὶ κείσθω τῆς ΑΒ ἡμίσεια ἡ ΑΔ· λέγω ὅτι πεν-
ταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΑΔ· ἀ-
ναγεγράφθωσαν γὰρ ἀπὸ τῶν ΑΒ ΔΓ τετράγωνα
τὰ ΑΕ ΔΖ· καὶ καταγεγράφθω ἐν τῷ ΔΖ τὸ σχῆμα·
καὶ διήχθω ἡ ΖΓ ἐπὶ τὸ Η· καὶ ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον
λόγον τέτμηται κατὰ τὸ Γ· τὸ ἄρα ὑπὸ τῶν ΑΒΓ ἐστὶν
ἴσον τῷ ἀπὸ τῆς ΑΓ· καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ΑΒΓ·
τὸ ΓΕ· τὸ δὲ ἀπὸ τῆς ΑΓ τὸ ΖΘ· ἴσον ἄρα τὸ ΓΕ
τῷ ΖΘ· καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΒΑ τῆς ΑΔ· ἴση δὲ
ἡ μὲν ΒΑ τῇ ΚΑ· ἡ δὲ ΑΔ τῇ ΑΘ· διπλῆ ἄρα καὶ
ἡ ΚΑ τῆς ΑΘ· ὡς δὲ ἡ ΚΑ πρὸς τὴν ΑΘ· οὕτως τὸ
ΓΚ πρὸς τὸ ΓΘ· διπλάσιον ἄρα τὸ ΓΚ τοῦ ΓΘ· εἰ-
σὶ δὲ καὶ τὰ ΛΘ ΘΓ διπλάσια τοῦ ΓΘ· ἴσον ἄρα τὸ
ΓΚ τοῖς ΛΘ ΘΓ· ἐδείχθη δὲ καὶ τὸ ΓΕ τῷ ΖΘ ἴσον·
ὅλον ἄρα τὸ ΑΕ τετράγωνον ἴσον ἐστὶ τῷ ΜΝΞ γνώ-
μονι· καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΒΑ τῆς ΑΔ· τετραπλά-
σιόν ἐστι τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς ΑΔ· τουτέστιν
τὸ ΑΕ τοῦ ΔΘ· ἴσον δὲ τὸ ΑΕ τῷ ΜΝΞ γνώμονι·
καὶ ὁ ΜΝΞ ἄρα γνώμων τετραπλάσιός ἐστι τοῦ ΑΘ·
ὅλον ἄρα τὸ ΔΖ πενταπλάσιόν ἐστι τοῦ ΑΘ· καί ἐστιν